Ακαδημία Αθηνών / Academy of Athens

**φῶς** (τύπ. *φάος*, συνών. *ἡμέρα*, ἀντίθ. *σκότος*) **1.** Φῶς, light, Ἡράκλειτος 26 *ἄνθρωπος ἐν εὐφρόνῃ φ ά ο ς ἅπτεται ἑωυτῷ... ἀποσβεσθεὶς ὄψεις* Ἐμπεδοκλῆς 84.5 *φ ῶ ς δ' ἔξω διαθρῴσκον, ὅσον ταναώτερον ἦεν, λάμπεσκεν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν* **2.** Ἡμέρα, day, Παρμενίδης 1.10 *σπερχοίατο πέμπειν Ἡλιάδες κοῦραι, προλιποῦσαι δώματα Νυκτός, εἰς φ ά ο ς* Ἐμπεδοκλῆς 48 *νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φ α έ ε σ σ ι.* || Παρμενίδης 14 *νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φ ῶ ς* Ἐμπεδοκλῆς 45 *κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φ ῶ ς* **3.** Φῶς/ἡμέρα, light/day, Παρμενίδης 9.1-3 *αὐτὰρ ἐπειδὴ πάντα φ ά ο ς καὶ νὺξ ὀνόμασται καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς, πᾶν πλέον ἐστὶν ὁμοῦ φ ά ε ο ς καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* Πυθαγόρειοι 5 (DK I 452,44) *φ ῶ ς καὶ σκότος.* || Φιλόλαος Α 12 (DK I 400,20) νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον *φ ῶ ς* ἐν ἑβδομάδι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ